Ἀριθ. εἰσ. 318.. 1980

# GEORGII MONACHI

## CHRONICON

EDIDIT

CAROLVS DE BOOR

EDITIONEM ANNI MCMIV
CORRECTIOREM CVRAVIT

PETER WIRTH

VOLVMEN II

TEXTVM GENVINVM INDE A VESPASIANI IMPERIO
CONTINENS

ΣΠΟΥΔΑΣΤΗΡΙΟΝ
ΜΕΣΑΙΩΝΙΚΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛ
ΚΑΙ ΒΥΖΑΝΤΙΝΗΣ ΙΣΤΟΡ

STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMLXXVI

Φασὶ δέ τινες καὶ τοῦτο πιστότατοι ἄνδρες, ὅτι πρὸς τῇ Βασιλικῇ καλουμένῃ κινστέρνῃ τῇ οὔσῃ πλησίον τῶν Χαλκοπρατείων παλάτιον ἦν σεμνόν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖον οἰκουμενικὸς διδάσκαλος ἔχων μεθ' ἑαυτοῦ ἑτέρους μαθητὰς αὐτοῦ καὶ συλλήπτορας προύχοντας ἄνδρας τὸν ἀριθμὸν ιβ' πᾶσαν ἐπιστήμην μετερχομένους καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικὰς διαίτας καὶ βίβλους ὡσαύτως ἔχοντας, ὧν οἱ βασιλεῖς ἄνευ βουλὴν ἢ γνώμην οὐκ ἐθέσπιζον. τούτους ὁ ἀγριώτατος θὴρ καὶ δυσώνυμος βάναυσος προσκαλεσάμενος ἐπειρᾶτο πείθειν συνθέσθαι αὐτοῦ τῇ ἀθεΐᾳ. τῶν δὲ τοῦτο μὴ καταδεξαμένων, ἀλλὰ καὶ μᾶλλον ἐλεγξάντων αὐτοῦ τὴν ἀσέβειαν, προσέταξε συρομένους αὐτοὺς ἀτίμως ἐν τῷ αὐτῷ τόπῳ τοῦ διδασκαλείου αὐτῶν ἐγκλεισθῆναι. τούτου δὲ γενομένου τῇ νυκτὶ πάλιν ἀποστείλας ὁ ἀνήμερος δράκων νυκτεπάρχους τινὰς καὶ ἀπηνεῖς ἄνδρας προσέταξε συναχθῆναι πλῆθος ξύλων καὶ τούτων ὑπαφθέντων κατακαῆναι τοὺς ἄνδρας σὺν τῶν οἰκημάτων καὶ τῶν βιβλίων καὶ τῶν λοιπῶν αὐτοῖς ὑπαρχόντων. οὗ γενομένου πάντες ἄρδην κατεφλέχθησαν. ἔκτοτε οὖν ἡ τῶν ἐπιστημῶν γνῶσις ἐν Ῥωμανίᾳ ἐσπάνισε τῇ τῶν βασιλευόντων γνωσιμάχων ἀπονοίᾳ μειουμένη ἕως τῶν ἡμερῶν Μιχαὴλ καὶ Θεοδώρας τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων.

---

1—22 *cf.* Codinus de aedificiis *p.* 83.

2 κινστέρνῃ BMRV. κιγστέρνῃ L κιστέρνῃ *ut vid. m. 1* D. γιστέρνῃ A γηστέρνῃ E *et m. 2* D. γεστέρνῃ C. — χαλκοπρατίων ABM *et* recc. quidam. — 3 κατὰ τὸν τύπον ἀρχ. recc. quidam κατὰ τὸν ἀρχ. τύπον recc. rell. ἀρχαῖον *om.* M. — 4 ἑταίρους A. — 8 βουλὴν ἢ γνώμην A βουλὴν καὶ γνώμην CELNV βουλῆς ἢ γνώμης B βουλῆς (αὐτῶν *add.* nonnulli) καὶ γνώμης R. — 10 αὐτῷ N. — 13 διδασκαλίου BCN. — 17 σὺν] μετὰ BRV. — 18 τῶν λοιπῶν τῶν BV λοιπῶν τῶν L. — 19 ἐπιστίμων A ἐπιστίμων C ἐπιστημόνων R.

1—22 *om.* P *aliaque inserit seorsim edenda.*



Ἐν τούτοις ἐξουσιαστικῶς ἅμα καὶ δυσσεβῶς τῆς αἱρέσεως ἀπάρχεται καὶ τὴν ἐπὶ τῆς Χαλκῆς πύλης τοῦ παλα- 635 M. τίου εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατεάξας καὶ σιλέντιον ἀσεβείας κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας προσκαλεῖται πάλιν τὸν τίμιον Γερμανὸν οἰόμενος πείθειν αὐτὸν ὑπογράψαι κατὰ τῶν ἱερῶν εἰκόνων. ὁ δὲ μηδ' ὅλως εἴξας τῇ θωπείᾳ ἢ τῇ ἀπειλῇ τοῦ ἀλάστορος θεὶς τὸ ὠμόφορον ἀπετάξατο τὴν ἱερωσύνην καὶ οὕτως ἐξῆλθεν ἐκ μέσου αὐτῶν. ὁ δὲ θεομάχος ἀντ' αὐτοῦ χειροτονεῖ Ἀναστάσιον πρεσβύτερον τῆς μεγάλης ἐκκλησίας συνθέμενον κατὰ τὴν ἀσεβῆ αὐτοῦ βουλὴν πάντα ποιεῖν. πᾶσαν δὲ εἰκονικὴν ἀνατύ-

---

1—3 Stephanus Vita Stephani Migne 1085 C. — 3—11 *cf.* Theoph. *p.* 408, 32. — 11—*p.* 744, 10 *cf.* Theoph. 409, 14 *et* 404, 5.

2 τοῦ παλατίου πύλης P τοῦ παλατίου *om.* R. — 4 σιλέντειον V σελέντιον B *et* recc. quidam Theoph. λεόντιον C recc. alii λέντιον recc. nonnulli. — 5 τίμιον AB ὅσιον CENV *et* recc. quidam ἅγιον recc. alii (ἁγιώτατον Theoph.) *om.* P. — 6 ἁγίων ADV. — 7 ὠμόφορον BV ὁμόφορον P ὁμόφορον CN ὠμοφόριον (ὁμ. A) A *et* recc. quidam. — 9 ἀντ' αὐτοῦ χειροτονεῖ AB χειροτονεῖ ἀντ' αὐτοῦ CDEV *et* recc. plerique. ἀντ' αὐτοῦ *post* πρεσβύτερον *ins.* M *om.* recc. nonnulli.

1 ἐν τούτοις οὖν ἐξ. P Steph. — δυσσ. δραξάμενος ὁ τύραννος τῆς αἱρ. καὶ τὴν P Steph. — 3 καταξέσας P (κατενέγκας Steph.). — 4 ἀσεβείας *om.* P Theoph. — 5 πάλιν καὶ τὸν P Theoph. — 6 *Post* εἰκόνων *alia ins.* P. — 8 ἀπετάξατο (*m. 2 ex* ἀπετάξω) τὴν ἱερ. ἐπιδοὺς τὸ ὁμόφορον καὶ εἰπὼν μετὰ πολλοὺς διδασκαλικοὺς λόγους· ἐγὼ βασιλεῦ χωρὶς οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν οὐ δύναμαι, καὶ οὕτως P Theoph. — 9—*p.* 744, 10 *sic in* P: ὁ δὲ θεομ. ἀντεχειροτόνησεν ἀναστ. τὸν ψευδώνυμον μαθητὴν καὶ σύγκελλον τοῦ θείου γερμανοῦ ὡς συνθ. τῇ αἱρέσει αὐτοῦ διὰ φιλαρχείαν καὶ φιλαργυρίαν. ὅθεν γρηγόριος ὁ ἱερὸς πρόεδρος ῥώμης τὸν μὲν ἀναστάσιον ἀνεθεμάτισεν, τὸν δὲ τύραννον ὡς ἀσεβοῦντα δι' ἐπιστολῆς ἀπήλεγξε καὶ μέντοι καὶ τὴν ῥώμην σὺμ πάσῃ τῇ ἰταλίᾳ τῆς βασιλείας αὐτοῦ παρευθὺς ἀποστήσας τοὺς φόρους ἐκώλυσεν. ἐφ' οἷς ὁ δυσώνυμος καὶ ἀλητήριος ἐκμανεὶς μᾶλλον καὶ πλέον κατὰ τῶν ὀρθοδόξων ἐπιτείνας διωγμὸν πολλοί τε κληρικοὶ καὶ μοναχοὶ καὶ λαϊκοὶ τῆς ἀληθείας ὑπερεκινδύνευσαν. *Eadem fere* Theoph.